ἐκ νεκρῶν ἀναστήσεσθαι· οἵτινες καταδικασθήσονται δι' αἰῶνος ἐν τῷ αἰωνίῳ πυρί. φεύγετε οὖν ἀπ' αὐτῶν, ἵνα μὴ συναπόλησθε ταῖς αὐτῶν ἀσεβείαις.

XXVII. Εἰ δέ τινες παρατηρούμενοι φυλάσσουσιν ἔθιμα Ἰουδαϊκά, γονορροίας, ὀνειρώξεις, πλησιασμοὺς τοὺς κατὰ νόμον[1], λεγέτωσαν ἡμῖν, εἰ ἐν αἷς ὥραις ἢ ἡμέραις ἕν τι τούτων ὑπομείνωσιν παρατηροῦνται προσεύξασθαι ἢ εὐχαριστίας μεταλαβεῖν ἢ βιβλίου θίγειν, καὶ ἐὰν συνθῶνται, δῆλον ὡς τοῦ ἁγίου πνεύματος κενοὶ τυγχάνουσιν τοῦ ἀεὶ παραμένοντος τοῖς πιστοῖς· περὶ γὰρ τῶν ὁσίων λέγει ὁ Σολομών, ἵν' ἕκαστος ἑαυτὸν εὐτρεπίζῃ, ὅπως «ὅταν καθεύδῃ, φυλάσσῃ αὐτὸν καί, ὡς ἂν ἐγείρηται, συλλαλῇ αὐτῷ.[2]» 2. εἰ γὰρ νομίζεις, ὦ γύναι, ἑπτὰ ἡμέρας ἐν ἀφέδρῳ οὖσα τοῦ ἁγίου πνεύματος κενὴ τυγχάνειν[3], ἄρα τελευτήσασα ἐξαίφνης κενὴ πνεύματος καὶ ἀπαρρησίαστος τῆς πρὸς θεὸν ἐλπίδος ἀπελεύσῃ. ἢ τὸ μὲν πνεῦμα ἔχεις πάντως ἀχώριστον ἅτε μὴ ἐν τόπῳ ὄν, δεῖ δέ σοι προσευχῆς καὶ εὐχαριστίας καὶ τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως, ὡς οὐδὲν ἐν τούτῳ παρανομοῦσα. 3. οὔτε γὰρ νόμιμος μῖξις οὔτε λέχος οὔτε αἵματος φορά, οὐκ ὀνείρωξις μιᾶναι δύναται ἀνθρώπου φύσιν ἢ τὸ ἅγιον πνεῦμα χωρίσαι, ἢ μόνη ἀσέβεια καὶ παράνομος πρᾶξις. τὸ γὰρ ἅγιον πνεῦμα τοῖς κεκτημένοις αὐτὸ ἀεὶ παράμονόν ἐστιν, ἕως ἂν ὦσιν ἄξιοι, καὶ ὧν ἂν χωρισθῇ, τούτους ἐρήμους καθίστησιν καὶ τῷ πονηρῷ πνεύματι ἐκδότους. 4. πᾶς δὲ ἄνθρωπος ὁ μὲν τῷ πνεύματι πεπλήρωται τῷ ἁγίῳ, ὁ δὲ τῷ ἀκαθάρτῳ, καὶ οὐχ οἷόν τε φυγεῖν αὐτῶν ἑκάτερον, εἰ μὴ ἐναντίον τι πάθωσιν· ὅ τε γὰρ παράκλητος μισεῖ πᾶν ψεῦδος, ὅ τε διάβολος πᾶσαν ἀλήθειαν. 5. πᾶς δὲ βεβαπτισμένος κατὰ ἀλήθειαν τοῦ μὲν διαβολικοῦ πνεύματος κεχώρισται, τοῦ δὲ ἁγίου πνεύματος ἐντὸς καθέστηκεν· καὶ ἀγαθοεργοῦντι μὲν παραμένει τὸ πνεῦμα τὸ ἅγιον, πληροῦν αὐτὸν σοφίας καὶ συνέσεως, καὶ τὸ πονηρὸν πνεῦμα οὐκ ἐᾷ αὐτῷ πλησιάσαι, ἐπιτηροῦν αὐτοῦ τὰς ἐφόδους. 6. σὺ οὖν, ὦ γύναι, καθὼς λέγεις, εἰ ἐν ταῖς ἡμέραις τῆς ἀφέδρου κενὴ τυγχάνεις τοῦ ἁγίου πνεύματος, τοῦ ἀκαθάρτου πεπλήρωσαι. μὴ προσευχομένη γὰρ μηδὲ ἀναγινώσκουσα ἄκοντα αὐτὸν προσκαλέσῃ· φιλεῖ γὰρ οὗτος τοὺς ἀχαρίστους, εἰ καί τις ἄλλος, τοὺς ῥᾳθύμους, τοὺς ἀμελεῖς, τοὺς ὑπνώδεις, ἐπειδὴ καὶ αὐτὸς ἀχαριστίᾳ κακόνοιαν νοσήσας ἐγυμνώθη παρὰ θεοῦ τῆς ἀξίας, ἀντὶ ἀρχαγγέλου διάβολος αἱρησάμενος εἶναι. 7. διὸ τῶν ματαίων ἀπόσχου λόγων, ὦ γύναι, καὶ ἔσο μεμνημένη πάντοτε θεοῦ τοῦ σε δημιουργήσαντος καὶ προσεύχου τούτῳ, ἐστὶν γάρ σοῦ καὶ τῶν ὅλων κύριος· καὶ μελέτα τοὺς αὐτοῦ νόμους, μηθὲν παρατηρουμένη, μὴ κάθαρσιν φυσικήν, μὴ μῖξιν νόμιμον, μὴ τοκετὸν ἢ ἀποβολήν, μὴ μῶμον σώματος, ἐπείπερ τὰ τοιαῦτα παρατηρήματα μωρῶν ἀνθρώπων ἐφευρέ-

1. Πρβλ. Λευϊτ. 12, 1 ἑξ.· 15, 1 ἑξ. 2. Παρμ. 6, 22. 3. Πρβλ. Λευϊτ. 15,19.